# Β΄. ΟΔΥΣΣΕΥΣ.

Ἐν τούτῳ τῷ λόγῳ μάλιστα παρατηρεῖν ἄξιον, τῆς τε εὑρέσεως τὸ πλῆθος, καὶ τῆς δεινότητος τὴν ὑπερβολήν, καὶ τῶν περιόδων τοὺς κύκλους· οὐ μέντοι γε οὐδ' ἀκμῆς ἀμοιρεῖ.

§ 1. Ὤμην μέν, ὦ Τρῶες, μηδενὸς ὑμᾶς ἔτι προσδεήσεσθαι λόγου, πρὸς τὸ πάνθ' ἃ προσῆκεν ἐθελῆσαι ποιεῖν. Ἀλλὰ τὴν τελευτὴν τῆς Μενέλεω δημηγορίας, ἀρχὴν τῶν εἰς ἡμᾶς δικαίων ἔσεσθαι. Ἐπεὶ δὲ ὁρῶ τοὺς μὲν ὅλως τὴν ἡσυχίαν ἄγοντας· ὡς ἂν οὔτε ἡμῶν κατεγνωκότας, οὔτε Ἀλεξάνδρῳ προσκρούειν ἐθέλοντας· τοὺς δὲ θορύβου πολλοῦ τὴν ἐκκλησίαν πληρώσαντας· τοὺς δὲ καὶ διαῤῥήδην εἰπόντας, ὅτι προσῆκεν ἡμᾶς ἀπεκτεῖναι λαβόντας· ἀνέστην τῷ βασιλεῖ τῶν Ἀχαιῶν[2] συνερῶν, ὅ,τι δύνωμαι. Καὶ γὰρ ἄτοπον, ἔργῳ μὲν ὑπὲρ αὐτοῦ τοσοῦτον ὑπομεῖναι πόνον, ὥστε μήτε πλοῦν μακρὸν ἐνεγκεῖν, μήτε τῶν οἰκείων ἀπόλειψιν, μήτ' ἄλλο μηδὲν ὑπολογίσασθαι, πρὸς τὸ μὴ πάνθ' ὑπουργεῖν·[3] τῆς δὲ βοηθείας εἰς λόγους ἡκούσης, ἢ μηδὲν εἰπεῖν τὴν ἀρχήν, ἢ ῥαθυμότερον τῇ δημηγορίᾳ χρήσασθαι.

§ 2. Ἓν μὲν οὖν ἐκεῖνο χρὴ πρῶτον ὑμᾶς εἰδότας ὑπάρχειν[2] ὅτι κἂν αἰκίσασθαι, κἂν διαφθεῖραι, κἂν ἄλλο τι τῶν ἀπειρημένων εἰς τοὺς πρέσβεις ὑμῖν ἐπέλθῃ τολμῆσαι, οὐ τοὺς παθόντας ἔσεσθε μᾶλλον, ἢ ὑμᾶς αὐτοὺς ἐζημιωκότες. Ὁ μὲν γὰρ ἀδίκως ἀποθανὼν ὑπ' οὐδενὸς ἂν πονηρὸς νομισθείη. Καὶ τοῦτ' ἂν εἴη πεπονθώς, ὃ μικρὸν ὕστερον αὐτόματον ἔπεισι. Τοῖς δὲ ἀδίκως ἀπεκτονόσι, καὶ πρὸς θεοὺς καὶ πρὸς ἀνθρώπους ὁ λόγος γίγνεται.[3] Καὶ τὰ τῆς ἀδικίας[4] εἰς ἅπαν τὸ γένος. Ὑπὲρ μὲν οὖν τούτου, ταύτην ἔχειν τὴν γνώμην ἄξιον.

§ 3. Δεῖ δὲ ὑμᾶς, μηδὲ τοὺς ὑπὲρ τοῦ πράγματος λόγους ἡγεῖσθαι φορτικούς, ὅπως ἂν γίγνωνται. Καὶ γὰρ εἰ μὲν ἀναγκαῖον ἦν τὴν ψῆφον εὐθὺς ἕπεσθαι τοῖς εἰρημένοις, καλῶς ἄν τις ἐδυσχέραινε τὴν ἀκρόασιν, ὡς ἂν ὑπ' αὐτῆς ἀφαιρούμενος ἃ ἂν προείρηται κυρῶσαι. Ἐπεὶ δὲ τὸ μὲν εἰπεῖν, τῶν πρέσβεων· ἡ δὲ ὑπὲρ παντὸς γνῶσις ἐν ὑμῖν, οὐδὲν ἂν δήπου βλάβος εἴη, διὰ τέλους ἀκούσασι,[2] πρᾶξαι τὸ παριστάμενον. Τοῖς μὲν οὖν ἄλλοις ἅπασιν, ὅσοι παρ' οὓς

---

§ 1. 2. Τῷ βασιλεῖ τῶν Ἀχαιῶν.) Μενελάῳ δηλ. — 3. Πρὸς τὸ μὴ πανθ' ὑπουργεῖν.) Ἐναντίον δηλ. γενόμενον πρὸς τὸ μὴ πάντα ὑπουργεῖν τῷ βασιλεῖ τῶν Ἀχαιῶν.

§ 2. 2. Εἰδότας ὑπάρχειν.) Ἀντὶ Εἰδέναι κατὰ περίφρασιν. Σημειούσθω δὲ ἡ μετὰ τοῦ Ὑπάρχειν περίφρασις αὕτη· συνήθης γάρ ἐστι μετὰ τοῦ Εἶναι. — 3. Ὁ λόγος γίγνεται.) Ἡ κρίσις δηλ. καὶ ὁ περὶ τούτου λόγος. — 4. Τὰ τῆς ἀδικίας) Ἐννοεῖται. Ἀναφέρεται οἷον· ἡ δὲ ἀδικία ἀναφέρεται εἰς ἅπαν τὸ γένος τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων.

§ 3. 2. Ἀκούσασι) Ἡ δοτικὴ διὰ τὸ

τινας[3] ἦλθον πρεσβεύοντες, τὸ μὴ τυχεῖν ὑπὲρ ὧν ἀφίκοντο τῶν ἐσχάτων ἀτυχημάτων εἶναι δοκεῖ· ἡμῖν δὲ, ὡς ἔοικε, τό,τε διαπράξασθαι περὶ ὧν ἀπεστάλμεθα, τῶν ἡδίστων[4] ἐστί· καὶ τὸ διακενῆς ἀπελθεῖν, οὐδὲν λυπηρόν. Τὸ μὲν γὰρ πρότερον,[5] πραγμάτων ἡμᾶς ἀπαλλάττειν φαίνεται καὶ διατριβῆς· ἐν δὲ τῷ δευτέρῳ,[6] μειζόνων ἔργων ἐλπὶς ὕπεστιν. Ὡς οὖν ὑπὲρ[7] ὑμῶν ὄντως μᾶλλον ἢ ἡμῶν, τοῦ συλλόγου, καὶ προσέχοντες ἀκούσατε, καὶ τὴν ἐξέτασιν, μὴ πρὸς τὸ ἥδιστον μᾶλλον, ἢ τ' ἀληθὲς ποιήσατε.

§ 4. Πάλαι μὲν οὖν, ὦ Τρῶες, πρὸς τὴν Ἀλεξάνδρου γνώμην τὸ κοινὸν τῆς πόλεως ἦθος ἐξετάζοντες, κακίστους ἁπάντων ἀνθρώπων· ὅτε γὰρ εἰπεῖν μετ' ἐξουσίας· καὶ δυσσεβεστάτους ἐνομίζομεν, καὶ πάντων ὠμοτάτους βαρβάρων. Νῦν δέ γε πεῖραν ὑμῶν καὶ τῶν ὑμετέρων νομίμων λαβόντες,[2] καὶ συνηθείας, καὶ τῶν ἄλλων, οἷς πόλεως τρόπος γνωρίζεται, τὴν μὲν κοινὴν ἡμῶν προαίρεσιν ἀγάμεθα· ἕνα δὲ γενέσθαι φαῦλον ἐν πόλει δεξιῶς ἐχούσῃ, θαυμαστὸν οὐδὲν ἡγούμεθα. Ἐπεὶ κἂν τοῖς Ἕλλησιν αὐτοῖς καὶ ταῖς εὐνομουμέναις τῶν πόλεων, εὕροις ἄν τινα, τὸν αὐτοῦ βίον, ἐναντίως τῷ κοινῷ καταστησάμενον σχήματι·[3] διόπερ καὶ κολάζεται νόμῳ. Ἀλλ' οὐ τῶν πόλεων, οἶμαι, ταῦτα κατηγορήματα, τοῦ δὲ πεποιηκότος ἀδικήματα.

§ 5. Ἃ τοίνυν θαυμάσαντες ὑμῶν ἔχομεν, ἐκεῖνά ἐστι· πρῶτον μὲν ὅτι τὸ χρῆμα τῶν πρέσβεων ἐπίστασθε, καὶ τοὺς ἥκοντας προσήκασθε· καὶ οὐκ ἀπεστράφητε ὡς ἠκούσατε· ἀλλ' ἀνοίξαντες τὰς πύλας, τοῦτο μὲν ἐδέχεσθε ἐν τῇ πόλει πρᾴως· τοῦτο δὲ[2] ξενίζετε λαμπρῶς. Λέγω γὰρ νῦν ὑμετέραν πρᾶξιν, τὴν φιλανθρωπίαν Ἀντήνορος.[3] Ἐπὶ τούτοις, βωμοὶ[4] πανταχοῦ τῆς πόλεως ὁρώμενοι, καὶ κάλλη

---

ὑπαρκτικόν· ἔδει δὲ αἰτιακτικὴν διὰ τὸ ἐπιφερόμενον ἀπαρέμφατον εἶναι. — 3. Παρ' οὕς τινας.) Εἰς ὅσους δή τινας ἦλθον πρέσβεις· ὁ δὲ νοῦς. Μέγιστον ἀτύχημα δοκεῖ τοῖς ἄλλοις πρέσβεσιν, ὁπουδήποτε πρεσβεύσασι τὸ μὴ τυχεῖν ἐκείνων, ὑπὲρ ὧν πρέσβεις ἀφίκοντο· ἡμῖν δὲ κτλ. — 4. Τῶν ἡδίστων.) Ἡ ἐκ τρίτου ὀνομαστικὴ τοῦ ὑπαρκτικοῦ μεταβάλλει εἰς γενικὴν πληθυντικὴν τὰ πολλὰ διαιρετικῶς· τὸ γὰρ Τῶν ἡδίστων ἐστίν. Ἓν τῶν ἡδίστων δηλ. Καὶ σημειῶσαι ἐνταῦθα ὅτι ἐν μὲν τῷ Διαπράξασθαι οὐ πᾶσαν περιείληφε τὴν ἡδονήν, ἀλλὰ μέρος, ὅθεν καὶ διαιρετικῶς συνέταξεν· ἐν δὲ τῷ Διακενῆς ἀπελθεῖν πᾶν λυπηρὸν ἠρνήσατο — 5. Τὸ μὲν γὰρ πρότερον.) Τὸ διαπράξασθαί τι περὶ ὧν ἀπεστάλμεθα. — 6. Ἐν δὲ τῷ δευτέρῳ.) Τῷ διακενῆς ἀπελθεῖν.—7. Ὡς οὖν ὑπέρ.) Ὅτι δὲ οὗτος ὁ σύλλογος καὶ ἡ ἐκκλησία ὑπὲρ ὑμῶν μᾶλλον γίνεται ἢ ὑπὲρ ἡμῶν, τοῦτο προσέχοντες ἀκούσατε.

§ 4. 2. Πεῖραν . . . λαβόντες.) Περίφρασις ἀντὶ Πειρασάμενοι· εἴτ' οὖν ἐκ πείρας γνωρίσαντες. — 3. Τῷ κοινῷ . . . σχήματι.) Ἐναντίως δηλ. πολιτευόμενον, ἢ κοινῶς πᾶσα ἡ πόλις νόμους καλῶς κειμένους ἔχουσα.

§ 5. 2. Τοῦτο μὲν . . . Τοῦτο δέ.) Κατ' Ἑλληνισμοῦ ἰδίωμα ταῦτα λέγεται περιττῶς· ἤρκει γὰρ εἰπεῖν, Ἐδέξασθέ τε ἐν τῇ πόλει πρᾴως, καὶ ξενίζετε λαμπρῶς. — 3. Ἀντήνορος.) Τοῦτο γὰρ φησὶν Ὅμηρος Ἰλ. Γ΄. 205. δέξασθαι τοὺς Ἑλλήνων πρέσβεις Ὀδυσσέα καὶ Μενέλαον, καὶ ξενίσασθαι ὅρα τὸν Πρεσβευτ. Α΄. § 7. 9. — 4. Βωμοί.) Εἰσὶ δηλ. —

Εργ. Ζ. τη. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

νεῶν, καὶ πλῆθος ἀναθημάτων, καὶ συνεχεῖς θυσίαι, καὶ πανηγύρεις συχναί, καὶ τεταγμένος ἑκάστου χρόνος· καὶ ταῦτα γὰρ ἀκούειν ἐνῆν· καὶ μαντικὴ τίμιος, οὐκ ἐῶσα τὸ μέλλον ἐν ἀδήλῳ κεῖσθαι·[5] καὶ ὅλως[6] τὰ πλείω, πρὸς Ἑλληνικὸν ἁμιλλώμενα κόσμον· Ἐκκλησία, ῥήτορες, τὸ βουλῇ χώραν εἶναι, τὸ λέγειν εἰς μέσον ἐξεῖναι, τὸ μὴ τῷ θυμῷ, πλέον, ἢ τῷ δικαίῳ δίδοσθαι. Τοὺς μὲν γὰρ ἄλλους βαρβάρους ἀκούομεν, ὀργῇ μᾶλλον ἢ λογισμοῖς τὰ καθ᾽ ἑαυτοὺς ἐπιτρέψαντας ἐγγύτατα τῶν θηρίων διάγειν· καὶ τοσοῦτον ἐπ᾽ ὠμότητι καὶ πονηρίᾳ φρονεῖν, ὅσον εἰκὸς ἦν[7] ἐπὶ τοῖς ἀμείνοσι. Τὰ δ᾽ ὑμέτερα πρὸς τὸ βέλτιον ὁρῶμεν πάντα συνηρμοσμένα· καὶ συγχαίρομέν γε ὑμῖν τῶν τε ἐθῶν καὶ τῆς καθεστώσης τάξεως.

§ 6. Ἔστι δ᾽ ὑμῖν ἀπ᾽ αὐτῶν ὧν εὐδοκιμεῖτε, τὸ τὰ δίκαια πανταχοῦ φυλάττειν ἀναγκαῖον· καὶ ἀρετῶν δι᾽ ὧν ὑμᾶς ἐπαινεῖν ἔχομεν, θαῤῥεῖν ἡμῖν[2] ὑπὲρ ὧν ἥκομεν ἔπεισι. Τοῖς μὲν γὰρ ἐξ ἀρχῆς παρὰ φαῦλον[3] τὸ καλῶς ἀκούειν θεμένοις, ἴσως ἂν ἐνέγκαι συγγνώμην τινά, τὸ ῥᾳδίως ἐπὶ τὰ χείρω καταφέρεσθαι. Οὐδὲν γὰρ ὑπεναντίον οἷς ἔγνωσαν ἄνωθεν, δοκοῦσι διαπράττεσθαι· καὶ τῇ συμφωνίᾳ τῶν ἔργων, ἀφαιροῦσι τὸ πλέον τῆς μέμψεως.[4] Ὅσοι δὲ ἀρχὴν ἐνστησάμενοι καλὴν καὶ γενναίαν, εἶθ᾽ ἑκόντες ἁμαρτάνουσιν, αὐτῶν κατήγοροι γεγόνασιν, οἷς ἔκριναν[5] εὖ ἔχειν, ὑπεναντία τολμῶντες.

§ 7. Ποῦ τοίνυν ἂν εἴη τῶν αὐτῶν, φοβεῖσθαι μὲν τοὺς θεούς, πάλιν δὲ αὐτῶν καταφρονεῖν, καὶ θύειν μὲν ὑπὲρ εὐσεβείας, δυσσεβεῖν δὲ διὰ τῶν χειρίστων. Καὶ τὸν μὲν[2] τιμᾶν, καὶ διὰ πολλῆς τῆς ἐπιμελείας θεραπεύειν. Νῦν μὲν ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, αὖθις δὲ ἐπὶ τῆς ἀκροπόλεως· πάλιν δὲ αὐτοῦ τοῦ Διὸς οὕτως ὀλιγωροῦντας φαίνεσθαι, ὥστε τὴν μεγίστην αὐτοῦ τῶν τιμῶν, εἰκῆ διαφθείρειν. Τίς γὰρ οὐκ οἶδεν ὡς ὁ ξένιος[3] Ζεύς, ὅτι περ κεφάλαιόν ἐστι τῶν ἐπωνυμιῶν αὐτοῦ, καὶ ὅτι παντὸς μὲν ἀναθήματος ἥδιον ἐκείνῳ, τὰ περὶ τοὺς ξένους εὖ ἔχειν. Πάσης δὲ δεινότερον ἱεροσυλίας, εἴτι συμβαίνει δυσχερές. Ἢ τῷ ξένῳ παρὰ τοῦ δεξαμένου, ἢ τῷ δεξαμένῳ παρὰ τοῦ τυχόντος εὐνοίας. Οὐ

5. Ἐν ἀδήλῳ κεῖσθαι.) Περίφρασις ἀντὶ Α δηλον· οἷον· Οὐκ ἐῶσα τὸ μέλλον ἄδηλον. — 6. Καὶ ὅλως.) Καὶ καθόλου εἰπεῖν. — 7. Ὅσον εἰκὸς ἦν.) Ὅσον ἔπρεπε δηλ. φρονεῖν.

§ 6. Θαῤῥεῖν ἡμῖν.) Καὶ τοῦτο ἔπεισεν ἡμᾶς θαῤῥεῖν ἐν ὑμῖν ὑπὲρ ὧν ἥκομεν, τὸ τοσαῦτα ἐπαίνου ἄξια ἔχειν. — 3. Παρὰ φαῦλον.) Ὅσοι δηλ. τὸν ἔπαινον εἰς οὐδὲν λογίζονται· ἐὰν ῥᾳδίως ἐπὶ τὰ χείρω φέρωνται, ἴσως συγγνώμης τινὸς ἄξιον. Καὶ ἔστι τὸ μὲν Παρὰ φαῦλον τίθεσθαι σημαῖνον τό, εἰς οὐδὲν λογίζεσθαι· τὸ δὲ Καλῶς ἀκούειν, τὸ Ἐπαινεῖσθαι — 4. Τὸ πλέον τῆς μέμψεως.) Διὰ τὴν συνήθειαν δηλ. οὐ τοσοῦτο δοκοῦσιν ἀξιομέμψεως εἶναι. — 5. Οἷς ἔκριναν.) Τολμῶντες ὑπεναντία ἐκείνοις, ἃ ἔκριναν εὖ ἔχει.

§ 7. 2. Τὸν μέν.) Δία δηλ. — 3. Ξένιος.) Ἐπώνυμον τοῦ Διός, ὡς τῆς ξενίας ἐφόρου.

τοίνυν ἐστὶ τῶν αὐτῶν, ὑβρίζειν τε ὁμοῦ καὶ θεραπεύειν τὸν Δία. Εἰ μὲν γὰρ οὐκ ὀργίζεται παροινούμενος, τί περὶ τὴν θεραπείαν ἐσπουδάκαμεν; εἰ δὲ τοῦ τιμᾶσθαι ποιεῖται λόγον, εἰκὸς δήπου καὶ τοῖς ὑβρίζουσιν ἄχθεσθαι.

§ 8. Εἰ μὲν τοίνυν οὐ παραπλήσιον ἔνεστι θεῶν τυχεῖν, οὐδὲ τοιούτων ὁποίους ἂν ἡμᾶς αὐτοὺς παρέχομεν. Ἀλλ᾽ ἔστι μὲν ἀδικοῦντας, τῆς ἐκείνων προνοίας ἀπολαύειν. Ἔστι δὲ τὰ δίκαια προῃρημένους, μηδὲν ἄμεινον τῶν πονηρῶν πράττειν, καθαιρετέον μὲν βωμούς· ἀμελητέον δὲ θυσιῶν. Παροπτέον δὲ πανηγύρεις· ἐν οὐδενὸς δὲ μέρει[2] τὸ θεῖον ἐκτέον· ἁπλῶς τε νομιστέον καὶ εἰκῇ φέρεσθαι τὰ ἀνθρώπινα καὶ τὸ προστυχὸν ἰσχύειν. Τῆς δὲ τοῦ βελτίονος τάξεως, μηδὲν εἶναι τὸ κέρδος, τοῖς οὕτω ζῆν ἐθέλουσι. Καὶ τί δεῖ δικαιοσύνην ἀσκεῖν, πρᾶγμα ἐπιζήμιον; ἐξὸν προτιμήσαντας πονηρίας, ἡδονὴν ἀκίνδυνον καρποῦσθαι. Εἰ δὲ ταῦτα μὲν οὐδὲ λέγειν καλὸν ἥπου γε τὸ πράττειν οὐκ ἄξιον. Ἀλλὰ τοῖς μὲν ὁσίοις βελτίους ἐλπίδες ἀπόκεινται· τοῖς δὲ ὡς ἑτέρως[3] ζῆν ᾑρημένοις, καὶ τὰ παρόντα δυσχερῆ, καὶ τὰ μέλλοντα φόβου μεστά· πολὺ δήπου κάλλιον, ὦ Τρῶες, ἐκείνης εἶναι τῆς μερίδος, ἣ τὰ χρηστὰ προξενεῖ.

§ 9. Καὶ οὐκ ἐπιτιμῶμεν ὑμῖν, ὡς οὐχ οὕτω φρονοῦσιν· ἀρχὴν[2] δὲ οὐδ᾽ ἂν συνεβούλευον ὑμῖν, εἰμὴ τοῦτον διέκεισθε τὸν τρόπον· ἀλλ᾽ ἐπειδὴ ταῦθ᾽ ὑμᾶς δικαίως ὁρῶμεν ἐπιτηδεύοντας, οὐκ ἂν βουλοίμεθα τὴν πόλιν ὑμῶν ἐξ ἡμισείας εἶναι δικαίαν, οὐδὲ τὰ ἄλλα ἀνεγκλήτους ὄντας, ἐν τοῖς περὶ τὴν Ἑλένην δοκεῖν ἁμαρτάνειν. Ἁπάντων γὰρ ἀτοπώτατον, τῆς μὲν ἐγχειρήσεως[3] καὶ τῶν ἔργων ἀφεστηκέναι, ἐν δὲ τῇ περὶ τῶν πεπραγμένων βουλῇ, τῆς αἰτίας τοῖς πεποιηκόσι κοινωνῆσαι.

§ 10. Εἰ μὲν οὖν κοινῷ δόγματι τῆς πόλεως τὸ ἀδίκημα τετόλμηται, καὶ τὸν Ἀλέξανδρον ὑμεῖς ἐπὶ καλὴν οὕτω πρᾶξιν ἐξεπέμψατε, σαφῶς εἴπατε μηδὲν ὀκνήσαντες, καὶ οὐδὲν ἔτι φθεγξόμεθα. Τίς γὰρ ἂν νοῦν ἔχων, αὐτοῖς τοῖς εἰργασμένοις δικασταῖς ὧν ἠδίκησαν χρήσαιτο; Εἰ δέ, ὅπερ ἀληθές ἐστιν, ὁ μὲν ἀφ᾽ ἑαυτοῦ βαλλόμενος ἔπραττε τὸ τερπνόν· ὑμῶν δὲ τὸ κοινὸν οὐ μετεῖχε τῶν γιγνομένων, δείξατε τοὺς δεδρακότας ἐν τῇ ψήφῳ·[2] καὶ τῇ χειροτονίᾳ[3] τῆς αἰτίας, ἐξέλεσθε τὴν πόλιν.

---

§ 8. 2. Ἐν οὐδενὸς δὲ μέρει.) Καὶ ὡς οὐδὲν δηλ. δεῖ ἔχειν ἢ νομίζειν τὸ θεῖον. — 3. Ὡς ἑτέρως.) Μὴ ὁσίως δηλ. ἐναντίως τῷ ὁσίῳ.

§ 9. 2. Ἀρχήν.) Κατὰ τὴν ἀρχὴν κεῖται δὲ ἀντὶ Οὐδαμῶς. — 3. Τῆς μὲν ἐγχειρήσεως.) Τοῦ Ἀλεξάνδρου.

§ 10. 2. Ἐν τῇ ψήφῳ.) Διὰ τῆς ψήφου δηλ. ψηφίσαντες κατ᾽ αὐτῶν. — 3. Καὶ τῇ χειροτονείᾳ.) Καὶ καταχειροτονήσαντες αὐτῶν, ἐξέλεσθε τὴν πόλιν τῆς κατηγορίας.

§ 11. Καὶ μὴν[2] ἔγωγε πολλοὺς ὑμῶν οἶδα τῷ μὲν Ἀλεξάνδρῳ δυσκόλως ἔχοντας,[3] ἡμῖν δὲ τοῖς πεπονθόσι συναλγοῦντας. Δεῖ δὲ τόν γε ἀληθῶς[4] ἁπλοῦν καὶ γενναῖον, οὐ πλάττεσθαι τὴν καλοκἀγαθίαν· ἀλλ᾽ ἐπὶ τῶν ἔργων τοῖς ἠδικημένοις ἀμύνειν· καὶ τοῦ νόμου τῆς ἐκκλησίας διδόντος παῤῥησίαν, ἀποδοῦναι κελεύειν τὴν Ἑλένην. Ἀλλ᾽ οὐκ ἰδίᾳ σεμνολογεῖσθαι, τὴν πρᾶξιν, δημοσίᾳ μὴ αἰτιώμενον.

§ 12. Καὶ μὴν εἴ τις ὑμᾶς ἔροιτο, τί μαθόντες οὔτε πρότερον οὐδὲν τοιοῦτον εἰργάσθε, οὔτ᾽ ἐπειδήπερ Ἀλέξανδρος ὧν ἐπεθύμει κύριος ἦν, ἐζηλώσατε τὴν ἁρπαγήν, εὖ οἶδα, ὅτι φήσειαν ἅπαντες, ὅτι καὶ πρότερον καὶ μετὰ τὴν τοῦ Ἀλεξάνδρου παροινίαν, πονηρᾶς εἶναι φύσεως τὸ ἅρπαγμα κατεγνώκαμεν. Καὶ οὐ διὰ τοῦτο χρηστόν, ὅτι τῷ δεῖνι τῶν Τρώων ἤρεσε. Τούτοις μέντοι τοῖς λόγοις οὐ συμβαίνει,[2] τὸ συμπράττειν Ἀλεξάνδρῳ καὶ συναγωνίζεσθαι πρὸς τὸ μηδὲ παύσασθαι τῶν ἀδικημάτων ποτέ. Εἰ μὲν γὰρ ἐπαινεῖτε τὸν ἄνθρωπον, τί οὐ μιμεῖσθε; εἰδὲ καταμέμφεσθε, τί οὐ κωλύετε; οὐ γὰρ δήπου λόγον ἔχον[3] ταῦτα διαφυλάττειν εἰς τέλος,[4] ἃ μηδὲ γενέσθαι τὴν ἀρχὴν βέλτιον ἦν. Ἢ τὴν μὲν ἁρπαγὴν[5] αἰτιασόμεθα, τὸ δὲ μηδ᾽ ἀποδοῦναι βούλεσθαι, τοῦτο θαυμασόμεθα.

§ 13. Ὅλως δὲ εἴ τις ἀκριβῶς λογίζεσθαι βούλοιτο, οὐ Μενέλεως ἠδίκηται μόνος ἐν τοῖς τετολμημένοις· ἀλλὰ καὶ τὰ κράτιστα[2] τῶν ἀνθρωπίνων συγκέχυται καὶ κεκίνηται. Εἰ γὰρ Ἀντήνωρ ὁ βέλτιστος ἐνεθυμήθη πρὸς ἑαυτόν, ὅτι νῦν ἐγὼ Μενέλεων καὶ τὸν Ὀδυσσέα καταλεύειν ἀνέξομαι παρ᾽ ἐμαυτῷ, τὸν μὲν εἰς τὰ τιμιώτατα βεβλαμένον, τὸν δὲ συνωργισμένον τῷ πεπονθότι. Ἂν οὖν ἀποχρήσονται πρός τι τῶν δυσχερῶν τῇ παρ᾽ ἐμοὶ διατριβῇ· παρ᾽ ἡμῶν γὰρ αὐτῶν ἔχουσι τῶν τοιούτων τὸ παράδειγμα. Καλῶν γ᾽ ἂν εἴην ἀπολαύειν ξένων· εἰ ταῦτα διαλογισάμενος προσιόντας ἀπήλαυνε καὶ μηδαμῇ προσίετο, ἆρ᾽ οὐκ ἄν, ἦν θέαμα δεινὸν καὶ

---

§ 11. 2. Καὶ μήν.) Προσθετικός. — 3. Δυσκόλως ἔχοντας.) Ἀντὶ βαρέως φέροντας· καὶ τὸ παρ᾽ ἡμῖν Πειραζομένους. — 4 Τόν γε ἀληθῶ..) Εἴ τις δηλ. ἐστὶν ἀληθῶς ἁπλοῦς καὶ γενναῖος, τοῦτον οὐ δεῖ προσποιεῖσθαι μόνον ὅτι ἐστὶ τοιοῦτος· ἀλλ᾽ ἐν τοῖς ἔργοις βοηθεῖν τοῖς ἠδικημένοις καί, ἐπειδὴ ὁ νόμος τῆς ἐκκλησίας δίδωσι παῤῥησίαν ἑκάστῳ, δεῖ τὸν καλὸν κἀγαθὸν κελεύειν ἀποδοῦναι τὴν Ἑλένην· καὶ μὴ κατὰ μέρος μὲν λέγειν σεμνῶς περὶ τῆς πράξεως ταύτης· δημοσίᾳ δὲ μὴ κατηγορεῖν τὸν πράξαντα.

§ 12. 2. Οὐ συμβαίνει.) Οὐ σύμφωνον ἐστίν· ἁρμόζει τοῖς λόγοις τούτοις τὸ συμπράττειν καὶ τλ. Ἵνα μὴ παύσηταί ποτε ἀδικῶν. — 3. Λόγον ἔχον.) Περίφρασις ἀντὶ Λόγον ἔχει. — 4. Εἰς τέλος.) Μέχρι τέλους. — 5. Ἢ τὴν μὲν ἁρπαγὴν καὶ τλ.) Ἐν εἴδει ἀναγνωστέον οὐ κατὰ τελείαν ἐρώτησιν, ἀλλ᾽ ἐν διαπορήσει.

§ 13. 2. Τὰ κράτιστα.) Τὸ τίμιον, τὸ πιστόν· καὶ εἴ τι ἄλλο οὐκ ἐν ὑποψίᾳ ποιεῖ τοὺς ἀνθρώπους πρὸς ἀλλήλους πο-

πάντων ἐλεεινότατον, ἄνδρας ξένους ἠδικηκότας οὐδὲν, ἐπ' ἀγορᾶς κυλινδεῖσθαι; Οἶμαι γὰρ ἂν καὶ τοὺς ἄλλους μιμήσασθαι, τῷ φόβῳ τῶν πεπραγμένων πρὸς ἀπιστίαν ἀγομένους. Ταῦτα τοίνυν τὸ μὲν Ἀλεξάνδρου μέρος,[3] συμβέβηκεν· ἡ δὲ Ἀντήνορος καλοκἀγαθία, κρείττων ἐφάνη τῆς ὑποψίας.

§ 14. Μάλιστα μὲν οὖν, ὦ Τρῶες, καὶ τὸ περὶ ὁτιοῦν εἰς τὸν ὑποδεξάμενον ἐξαμαρτάνειν, τῶν δεινοτάτων ἐστί. Τῆς γὰρ αὐτῆς παροινίας ἀπόδειξιν ἔχει τὸ πραττόμενον ἅπαν, ἕως ἂν ἐκβαίνει[2] τὸ τοῦ προσήκοντος. Ἀλέξανδρος δὲ παρανομεῖν ἐπιχειρήσας, ἐν τῷ μεγίστῳ τὴν παρανομίαν ἔδειξεν. Οὐκ ἤρκει θεραπαίνας καὶ χρυσία, καὶ ὅσα εἰς ἐσθῆτα φέρει λαβόντα, οἴχεσθαι, καὶ τούτοις ὁρίσαι τὰ ἀδικήματα· ἀλλ' ἐπὶ τὸ γύναιον ἐπιθυμίαν ἀκόλαστον ἐκίνησε· καὶ τοῖς αὐτοῖς ὀφθαλμοῖς τοῦτον μὲν[3] δεξιούμενον εὐλαβῶς, τὴν δὲ Ἑλένην εἶδεν ἐφ' ὕβρει. Καὶ οὐκ ἔστησεν ἐπὶ τῆς ἐννοίας τὸ ἐγχείρημα, ἀλλὰ προσέθηκε καὶ τὴν πρᾶξιν, ὑπὲρ ἧς καὶ τὸ βουλεύσασθαι, τῶν ἐσχάτων[4] ἂν ἦν. Καὶ εἰ μὲν οὐχ ἑώρα παιδίον αὐτοῖς γεγονὸς, ὃ μάλιστα δὴ πάντων εἰς οἰκειότητα τοὺς γονέας συνάγει, ἦν μὲν ἂν οὐδὲ οὕτω μικρόν· τοῦ δὲ νῦν εἰργασμένου, μετριώτερον. Νῦν δὲ οὔσης αὐτοῖς Ἑρμιόνης τοσαύτης ἀφορμῆς εἰς κοινωνίαν, Ἀλέξανδρος διέσπασεν, ἃ συνῆπτο θεσμῷ καλλίονι.[5]

§ 15. Οἶδα τοίνυν ὡς ἐρεῖ τις, ὅτι δικαίως ἂν στέργοιμεν ταῦτα πάσχοντες, ἅ ποτε πεποιήκαμεν. Οἷον ὑμεῖς, φησὶν, ἐκ μὲν Φοινίκης, Εὐρώπην·[2] ἐκ δὲ Κόλχων ἡρπάσατε Μήδειαν. Τί τοίνυν ἀσχάλλετε ταῦτα ὑπομένοντες ὧν ὑπήρξατε; Ἐγὼ δὲ πρῶτον μὲν αὐτὸ τοῦτο τεθαύμακα, εἰ ὧν ὡς ἐγκλημάτων μέμνησθε, ταῦθ' ὁμολογεῖτε μιμήσασθαι. Εἰ μὲν γὰρ μηδὲν ἡμάρτανον οἱ τότ' ἐκεῖνα πράττοντες, πῶς εἰς ἔγκλημα προφέρετε; εἰ δὲ οὐκ ἦν ἔξω τοῦ ψέγεσθαι, πῶς ἃ ψέγειν οἴεσθε δεῖν, ἐζηλώσατε;

---

ρεύεσθαι, καὶ ἀναστρέφεσθαι. — 3. Τὸ μὲν Ἀλεξάνδρου μέρος.) Κατ' ἔλλειψιν τῆς Κατά· καὶ ἔστιν ὅμοιον τῷ παρ' ἡμῖν· ὡς μὲν ἀπὸ μέρους τοῦ Ἀλεξάνδρου.

§ 14. 2. Ἕως ἂν ἐκβαίνει.) Ὅταν παραβαίνῃ τὸ δίκαιον. — 3. Τοῦτον μέν.) Οἷον. Τοῖς αὐτοῖς ὀφθαλμοῖς τὸν μὲν Μενέλαον εἶδε φιλοφρονούμενον, καὶ προσηνῶς δεχόμενον· τὴν δ' Ἑλένην ἐφ' ὕβρει· καὶ ἔστι τὸ Τοῦτον πρὸς Μενέλαον ἀναφερόμενον· δείκνυσι γὰρ παρόντα. — 4. Τῶν ἐσχάτων.) Κακῶν δηλ. ἕν. — 5. Θεσμῷ καλλίονι.) Οὐδεὶς γὰρ καλλίων θεσμὸς τοῦ τῆς φύσεως· αὕτη δὲ οἰκειοῖ ἄνδρα καὶ γυναῖκα πρὸς τὴν τοῦ γένους διαμονήν· διαμένει δὲ τὸ γένος διὰ τῶν τέκνων· καὶ εἰσὶν ἄρα τὰ τέκνα, ὁ κάλλιστος πάντων θεσμὸς εἰς συναφὴν ἀνδρογύνου.

§ 15. 2. Εὐρώπην.) Ἐξ Ἡροδότου ταῦτα. Οὗτος γάρ φησιν, ἐπειδὴ Φοίνικες ἥρπασαν ἐξ Ἄργους Ἰὼ τὴν βασιλέως θυγατέρα, μετὰ ταῦτα οἱ Κρῆτες ἥρπασαν ἐκ Τύρου τῆς Φοινίκης τὴν τοῦ βασιλέως θυγατέρα Εὐρώπην· μετὰ δὲ πολὺν χρόνον ὕστερον καταπλεύσαντες οἱ Ἕλληνες εἰς Αἶαν τῆς Κολχίδος καὶ ἐπὶ Φᾶσιν ποταμὸν, ἥρπασαν τὴν βασιλέως θυγατέρα Μήδειαν. Κλειώ· β'. Οἱ δὲ μῦθοι φασὶ τὴν μὲν Εὐρώπην Δία ἁρπάσαι ὁμοιωθέντα ταύρῳ· τὴν δὲ Μήδειαν Ἰάσων ἐπὶ τὸ χρυσόμαλλον πορευθεὶς εἰς Κόλχους.

Ε.Σ.Δ. τμ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

§ 16. Καὶ μὴν[2] καὶ κατ' αὐτὸν τοῦτον τὸν λόγον, εἰς τοὺς βαρβάρους ἔρχεται τὸ ἔγκλημα. Εἰ γὰρ τὸ μὲν τῶν ἀδικημάτων ἄρχειν, παρὰ τὸν νόμον ἐστί· τὸ δὲ ἀμύνασθαι τοὺς ὑπάρξαντας εἰς τὸ δίκαιον τελεῖ· εἰπάτω μοί τις, πότερον Κρῆτες πρότερον τὴν Εὐρώπην ἐκ Φοινίκης ἥρπασαν, ἢ Φοίνικες ἐξ Ἄργους Ἰὼ τὴν Ἰνάχου.[3] Ἐγὼ μὲν γὰρ, οἶμαι τῶν Φοινίκων γεγενῆσθαι τὴν ἀρχήν. Καὶ οὐκ ἐπαινοῦμεν οὐδὲ τοὺς Κρῆτας, πρὸς τοῦτο ἐλθόντας. Πάντων γάρ[4] ἀλογώτατον, τῶν ἠδικημένων ἀντεπιβουλεύειν, οὐ προῃρημένων, ἐκείνους ταῦτα περιεργάζεσθαι. Ἔπειτα εἰ καὶ πλέον τῶν πεπονθότων ἤχθοντο[5] δῶμεν γὰρ, καὶ μᾶλλον ἤλγουν Ἰνάχου· οὐχ ἁρπαγῇ τὴν ἁρπαγὴν μετιέναι ἐχρῆν. Ἀλλὰ ταῦτα ποιεῖν, ἅπερ ἡμεῖς νῦν, πρεσβείαν ἀποστέλλειν, στρατόπεδον συγκροτεῖν, πόλεμον ἀπειλεῖν. Τοῦτο μὲν[6] γὰρ ἦν, μηδὲν τοιοῦτον μήτ' ἐν γῇ, μήτ' ἐν θαλάττῃ βουλομένων τολμᾶσθαι. Ἐκεῖνο δὲ, πολλὰ παρασκευαζόντων παραπλήσια γίνεσθαι. Ἐπαινεῖν μὲν οὖν ἐκείνους οὐκ ἔχομεν. Εἰ δὲ ἰσχυρόν τις εἶναι νομίζει τὸ χρῆναι τοῖς ἴσοις ἀμύνασθαι, λόγος τις αὐτοῖς λείποιτο; Πλὴν ἕν γε ἐκεῖνο ἴσμεν, ὅτι Φοινίκων τὸ ἔγκλημα γίνεται, τῶν καταβεβληκότων τὸ σπέρμα τῆς ἁρπαγῆς.

§ 17. Τί οὖν;[2] Μήδειαν Ἰάσων ἐλάμβανεν. Ἄλλος μὲν[3] οὖν ἄν τις ἔφησεν, ὅτι πρὸς τὰ τῶν Φοινίκων παροξυνόμενος, καὶ προσδεῖν[4] ἡγούμενος τῇ τιμωρίᾳ. Ἐγὼ δὲ, οὐ τὸν Ἰάσωνα αὐτῆς Μηδείας ἐπιθυμήσαντα σκοπῶν εὑρίσκω, τὴν δὲ Μήδειαν ἁλοῦσαν Ἰάσωνος. Ὡς μὲν οὖν συνέπραξεν αὐτῷ[5] πρὸς τοὺς ἄθλους, αὐ-

---

§ 16. 2. Καὶ μήν.) Ἀλλά. — 3. Ἰὼ τὴν Ἰνάχου.) Τὰ τοῦ Ἡροδότου λέγει ἐνταῦθα· ἐκεῖνος γὰρ πρώτους λέγει ἄρξασθαι τῆς ἀδικίας ταύτης Φοίνικας ἁρπάσαντας δόλῳ Ἰὼ τὴν Ἰνάχου βασιλέως Ἄργους θυγατέρα, ἐλθόντας πλοίῳ κατ' ἐμπορίαν· καὶ τῶν Ἀργείων γυναικῶν ἀγοραζουσῶν παρ' αὐτοῖς ἁρπάσαι τινὰς, σὺν αἷς καὶ Ἰώ· εἶτα τοὺς Κρῆτας Εὐρώπην. Καὶ ταῦτα ἴσα πρὸς ἴσα γενέσθαι. — 4. Πάντων γάρ.) Πάντων ἐστὶν ἀλογώτατον τοὺς Κρῆτας περιεργάζεσθαι τὰ ἀδικήματα· ἐν ᾧ οἱ Ἀργεῖοι ἀδικηθέντες οὐ προῃρέθησαν ἀντεπιβουλεύειν. — 5. Ἤχθοντο.) Οἱ Κρῆτες δηλ. — 6 Τοῦτο μὲν καὶ τλ.) Ὅπερ ἡμεῖς ποιοῦμεν, ἴδιον ἀνθρώπων μὴ βουλομένων μηδὲν τοιοῦτον ἀδίκημα τολμᾶσθαι ἐᾶν, μήτε ἐν γῇ, μήτε ἐν θαλάττῃ· ὃ δὲ οἱ Κρῆτες ἐποίησαν ἴδιόν ἐστιν ἀνθρώπων παρασκευαζόντων πολλὰ παραπλήσια γενέσθαι. Οὐ γὰρ τίσασθαι τοὺς ἀδικήσαντας προῄχθησαν, ἀλλ' ἀνταδικεῖν ἐπεχείρησαν.

§ 17. 2. Τί οὖν;) Διὰ τί οὖν; — 3. Ἄλλος μέν.) Ἄλλος μὲν εἰς ταύτην τὴν ἐρώτησιν τοιαύτην ἂν ἐποιήσατο ἀπόκρισιν, ὅτι καὶ τλ. ἐγὼ δὲ καὶ τλ. — 4. Καὶ προσδεῖν.) Γενικῇ καὶ δοτικῇ· οἷον· Εἰ μὲν ταῦτα ἀποδώσετε, οὐδενὸς ὑμῖν προσδεῖ πόρου. Δημοσθ. Ὀλυνθ. Α΄. Ὅθεν καὶ ἐνταῦθα ἐννοεῖται ἡ γενική· οἷον· Καὶ ἡγούμενος προσδεῖν τῇ τιμωρίᾳ καὶ ἑτέρας ἁρπαγῆς. Τοῦτ' ἔστιν. Καὶ ἡγούμενος ὅτι οὐκ ἔστιν ἱκανὴ ἡ τιμωρία πρὸς τοὺς Φοίνικας, ἣν Κρῆτες ἐποιήσαντο ἁρπάσαντες Εὐρώπην· ἀλλ' ἔτι δεῖ καὶ ἑτέρας τιμωρίας. — 5. Συνέπραξεν αὐτῷ.) Ἡ Μήδεια. Ἐλθόντος γὰρ Ἰάσωνος κατὰ προσταγὴν Πελίου βασιλέως Ἰωλκοῦ εἰς Κολχίδα πρὸς κτῆσιν τοῦ χρυσομάλλου, ἐπὶ δένδρου κρεμαμένου, καὶ ὑπὸ δράκοντος φυλαττομένου, Μήδεια ἁλοῦσα τῷ πρὸς Ἰάσωνα ἔρωτι, δέδωκεν αὐτῷ

τόματος ὁρμήσασα εἰς τὴν ἐπικουρίαν· καὶ ὡς ἀπέκτεινε τὸν ἀδελφὸν ἀποσπᾶν ἐπιχειροῦντα[6] καὶ ὡς ἀβίωτον ἡγεῖτο τὸν βίον, εἰμὴ ἐκεῖνον ὄψεται, καὶ ὅσα τῶν πρώτων[7] ἐστὶ, παραλείψω· τί γὰρ ἄν τις μακρηγοροίη, ἀλλ᾽ ἐπειδὴ τῆς Ἑλλάδος ἦσαν ἐν Κορίνθῳ, ὁ μὲν ἄλλην ἐμνήστευεν, ἡ δὲ ἐδάκρυε. Καὶ ὁ μὲν ἣν ἠβούλετο, ἤγετο· ἡ δὲ, οὐκ εἶχεν ἥτις γενήται. Οὕτω σφόδρα[8] αὐτὴν Ἰάσων ἠγάπα· καὶ τὰς Συμπληγάδας ὑπὲρ ἐκείνης διέπλευσεν· ὥσπερ Ἀλέξανδρος ὑπὲρ τῆς Ἑλένης τὸ Αἰγαῖον. Πότερον οὖν Ἰάσων Μηδείας ἑαλώκει; ἢ Μήδεια τὸν οὐδὲν δεόμενον αὐτῆς, ἠνώχλει; Τὰ μὲν γὰρ[9] πράγματα, τὸ δεύτερον βεβαιοῖ.

§ 18. Εἰ δὲ ἐκεῖνό τις φήσειεν, ὅτι καὶ τὴν Ἑλένην παραπλήσιος λογισμὸς ἀκολουθεῖν Ἀλεξάνδρῳ συνέπεισεν, οὐ χαλεπὸν εὑρεῖν τὴν ἀλήθειαν. Εἰπάτω[2] πρὸς αὐτὴν ἀπαλλαγῆναι τῆς οἰκίας ἕτερον ἐγγυάσθω γύναιον. Κἂν προσκαθημένη δακρύῃ χαίρειν ἐᾷν. Καὶ τότε εἰσόμεθα οἷς ἐγκαλεῖν ἄξιον. Καὶ ὥσπερ ἂν εἰ τότε Αἰήτης ἤτει τὴν Μήδειαν, πόλεμον ἀπειλῶν,[3] εἰ μὴ λάβοι, ῥᾷστα ἂν ἀπέδωκεν Ἰάσων πρὸς τὸ καὶ χάριν εἰδέναι τοῖς ἥκουσιν. Οὕτω νῦν Ἀλέξανδρος δειξάτω μηδὲν τῆς γυναικὸς δεόμενος. Ἀλλ᾽ οὐ ποιήσει τοῦτο ἑκὼν εἶναι;[4] πόθεν; Οὔκουν Ἰάσων ἠδίκει τότε. Ἀλλ᾽ ἡ παῖς ἠδίκει τοὺς γονεῖς, ἑκοῦσα παρ᾽ αὐτὸν ἀπελθοῦσα. Τί οὖν ἄν τις παραδείγμασι χρῷτο τούτοις, ὧν πολὺ τὸ παρὸν ἀποστατεῖ;[5]

§ 19. Τὸ δὲ μέγιστον, καὶ ὃ σαφῶς εἴσεσθε, ποίῳ[2] τοίνυν κεχώρισται τὰ πράγματα; Οὔτε γὰρ ἣν οἱ Φοίνικες, οὔτε ἣν οἱ Κρῆτες ἔλαβον· ἀλλ᾽ οὔτε ἡ Μήδεια συνοικοῦσά τισιν ἤδη τοῦτο ἔπα-

---

φάρμακον δύναμιν ἔχον κοιμῆσαι τὸν δράκοντα· οὕτως Ἰάσων τὸ χρυσόμαλλον ἔλαβε· καὶ τὰ λοιπὰ δὲ συνεπράξατο αὐτῷ Μήδεια ἐπὶ συμφωνίᾳ τοῦ λαβεῖν αὐτὴν μεθ᾽ ἑαυτοῦ εἰς Ἑλλάδα. Φεύγουσι δὲ ἐπηκολούθει ὁ πατὴρ Αἰήτης· ἡ δὲ Μήδεια ἔχουσα μεθ᾽ ἑαυτῆς καὶ τὸν ἀδελφὸν Ἄψυρτον, ἔτεμεν αὐτὸν καὶ τὰ μέλη διέσπειρεν ἄλλο ἀλλαχοῦ· καὶ οὕτω τῆς διώξεως ἐπαύσατο Αἰήτης, συνάγων τὰ μέλη τοῦ υἱοῦ. Ἐλθόντες δὲ εἰς τὴν Ἑλλάδα, καὶ τῆς Μηδείας ἀμυνομένης ὑπὲρ τοῦ ἀνδρὸς, φονευσάσης Πελίαν, εἰς Κόρινθον διωχθέντες, κατέφυγον· ἔνθα Ἰάσων καταλιπὼν Μήδειαν, ἔλαβεν εἰς γυναῖκα Κρέουσαν τὴν θυγατέρα Κρέοντος βασιλέως Κορίνθου· Μήδεια δὲ ὀργισθεῖσα τήν τε Κρέουσαν καὶ Κρέοντα οἰκτρῶς ἐποίησεν ἀποθανεῖν· καὶ τοὺς παῖδας αὐτῆς ἔμπροσθεν Ἰάσωνος κατέσφαγε καὶ φυγοῦσα τέλος εἰς Κολχίδα ἐπέστρεψεν. Ἀπολλόδ. Α΄. Καὶ Εὐριπίδ. Μήδεια. — 6. Ἀποσπᾶν ἐπιχειροῦν.) Οἱ μὲν γὰρ μῦθοι ἄλλως λέγουσι περὶ τῆς σφαγῆς τοῦ ἀδελφοῦ Μηδείας Ἀψύρτου· ἡ δ᾽ ἀλήθεια δοκεῖ ὅτι ἀποσπᾶν ἐπεχείρει. — 7. Καὶ ὅσα τῶν πρώτων.) Πρὶν δηλ. εἰς Ἑλλάδα γενέσθαι· καὶ ἐλθοῦσα ὡς ἔκτεινεν ὑπὲρ Ἰάσωνος Πελίαν. — 8. Οὕτω σφόδρα.) Εἰρωνικῶς ταῦτα. — 9. Τὰ μὲν γάρ.) Τὸ Μὲν γὰρ, βεβαιωτικόν.

§ 18. 2. Εἰπάτω.) Ὁ Ἀλέξανδρος πρὸς τὴν Ἑλένην· καθάπερ ἐποίησεν Ἰάσων πρὸς Μήδειαν. — 3. Ἀπειλῶν.) Ἔπεμψε μὲν κήρυκας Αἰήτης ἀπαιτῶν τὴν θυγατέρα, καὶ δίκας τῆς ἁρπαγῆς αἰτῶν, ἢ φησιν Ἡρόδοτος ἐν Κλειοῖ· β΄. ἀλλ᾽ οὐ πόλεμον ἠπείλει. — 4. Ἑκὼν εἶναι.) Τὸ εἶναι ἐνταῦθα παρέλκει κατ᾽ ἰδίωμα Ἑλληνος λόγου. — 5. Ἀποστατεῖ.) Διαφέρει δηλ.

§ 19. 2. Ποίῳ.) Τρόπῳ δηλ. —

σχον. Οὐδὲ διεσπᾶτο γάμος· οὐδὲ εὐνὴ κατῃσχύνετο· οὐδὲ παίδων διαδοχὴ διεκόπτετο· οὐδὲ ἐφ' ἃ Θεοὶ γαμήλιοι παρεκλήθησαν, ταῦτα κατὰ πολλὴν ὕβριν ἀνῃρεῖτο. Ἀλλ' ἦν κἀκεῖνα δεινὰ μὲν, οὐ μὴν εἰς τοσοῦτον ἀσεβείας ἥκοντα. Εἰ δὲ δὴ κἀκεῖνα πολλῆς ἦν ἄξια τῆς ἀγανακτήσεως, πόσης γε εἶναι τὸ παρὸν ὀργῆς θήσομεν; Ἔτι τοίνυν οὐδὲ γὰρ τοῦτο μικρὸν, τὴν μὲν Ἰνάχου παῖδα, ναυκλήρου τινὸς[3] φασὶ κλέμμα γενέσθαι, οὔτε διαλεχθέντος, οὔτε καταλύσαντος παρὰ τῷ πατρὶ τῆς κόρης, περὶ δὲ τῆς Εὐρώπης οὐδὲν οὐδέπω καὶ νῦν σαφὲς[4] ἀκούομεν. Ἰάσων δέ γε, δυσμενεστάτῳ πάντων ἐτύγχανεν Αἰήτου, καὶ τοιαῦτα προβάλλοντος,[5] ἃ πρόδηλον εἶχε τῷ μετιόντι συμφοράν· εἶθ' οὗτός γε εἴτι καὶ δυσχερὲς ὕστερον εἰργάζετο τὸν Αἰήτην, τὸ προπεπονθέναι κακῶς δικαίαν ἐποίει τὴν πρᾶξιν αὐτῷ.

§ 20. Τούτων ἕκαστος, Ἀλέξανδρε, τοῖς γε σεσυλημένοις, οὐχ ἁλῶν,[2] οὐ σπονδῶν, οὐ τραπέζης ἐκοινώνησεν. Μᾶλλον δὲ, οἱ μὲν[3] οὐδενὸς τοιούτου μετεσχηκότες ἦσαν· ὁ δὲ[4] καὶ διαῤῥήδην ἐπεπόνθει κακῶς. Καὶ εἰ τὰ ἄλλα πάντα ἦσαν πονηροὶ, τουτὶ περὶ τὸν ξένιον διαπλημμελεῖν, ἦσαν ἐλεύθεροι.[5] Καὶ τὸ μὲν ἐκείνων[6] ἦν πλεονεξία, τὸ δὲ ἀσέβεια. Πλεῖστον δὲ δήπου διαφέρει τῆς τοῦ πλείονος ἐπιθυμίας ἡττᾶσθαι, ἢ τοῦ περὶ τῶν θεῶν φόβου, μείζων εἶναι βούλεσθαι. Μὴ τοίνυν ἀναισχυντῶμεν εἰς μέσον ἐκείνους φέροντες, ὧν ἀτοπώτεροι πεφήναμεν· ἢ λήσομεν ἡμᾶς αὐτοὺς πλέον θάτερον[7] ποιοῦντες, εἰ γὰρ ὧν ὡς δεινοτάτων κατηγοροῦμεν, ταῦτα ὑπερβάλλοντες ἁλισκόμεθα, καθ' ἡμῶν αὐτῶν ἐκεῖνα κακιοῦμεν.

---

3. Ναυκλήρου τινός.) Ἡρόδοτος γὰρ λέγει, ὅτι Φοίνικες φέροντες φορτία Αἰγύπτια καὶ Ἀσσύρια, καὶ εἰς ἄλλην ἔπλευσαν χώραν καὶ δὴ καὶ εἰς Ἄργος ἦλθον· ἔνθα ἐλθούσας γυναῖκας, καὶ στάσας κατὰ πρύμνην τῆς νηὸς καὶ ὠνουμένας ἥρπασαν· καὶ ἐμβαλόντες εἰς τὴν ναῦν, ᾤχοντο ἀποπλέοντες ἐπ' Αἴγυπτον. Κλειώ. ά. — 4. Καὶ νῦν σαφές.) Ὁ μὲν γὰρ Ἡρόδοτος Κρῆτας οἴεται εἶναι τοὺς ἁρπάσαντας, ἐν Κλειοῖ β'. οἱ δὲ μῦθοι Δία φασὶν εἰκασάμενον ἑαυτὸν ταύρῳ· ἐπὶ τῶν ὤμων αὐτοῦ ἀράμενον αὐτὴν ἤγαγεν ἐπὶ τὴν ξηρὰν ταύτην, ἥτις ἐκλήθη ἀπ' αὐτῆς Εὐρώπη. — 5. Προβάλλοντος.) Τοῦ Αἰήτου. Ἐλθόντος γὰρ Ἰάσωνος πρὸς Αἰήτην καὶ ζητοῦντος τὸ χρυσόμαλλον δέρας, ὁ Αἰήτης τὸν φυλάττοντα δράκοντα ἀνελεῖν αὐτὸν ἐπέταξε, καὶ τοὺς πυριπνόους ἵππους ζεύξασθαι· καὶ τὰ τοιαῦτα, ὅσα οἱ μῦθοι λέγουσι· καὶ ἡ ἀλήθεια ἐξηγοῦσα, ἀνθρώπους εἶναι δυνατοὺς λέγει, οὓς ἔδει τὸν Ἰάσωνα καταπολεμῆσαι· ταῦτα δὲ πάντα πρόδηλον ἔχει τὴν συμφορὰν τῷ Ἰάσωνι.

§ 20. 2. Οὐχ ἁλῶν καὶ τλ.) Τὸ μὲν ἁλῶν καὶ τραπέζης ὅμοιόν ἐστι τῷ παρὰ τοῖς νῦν ἐν Ἑλλάδι λεγομένῳ. Ἔφαγε ψωμίον καὶ ἅλας· αἱ δὲ σπονδαὶ ἐν δείπνοις ὧδε ἐγίνοντο. Ἔχεον ἐκ τοῦ οἴνου τοῦ ἐν τῇ κύλικι ἐπὶ τῆς τραπέζης ἢ ἐπὶ γῆς μετὰ διαφόρων εὐχῶν πρὸς τοὺς θεοὺς, οὓς ἐνόμιζον τραπεζῶν ἐφόρους. — 3. Οἱ μέν.) Κρῆτες δηλ. — 4. Ὁ δέ.) Ἰάσων δηλ. — 5. Ἦσαν ἐλεύθεροι.) Οὐ γὰρ ἐγένοντο ξένοι· οὐδὲ ξενίας ἔτυχον. — 6. Τὸ μὲν ἐκείνων.) Ὃ μὲν ἐκεῖνοι οἵ τε Κρῆτες, δὸς δὲ καὶ ὁ Ἰάσων, κατηργάσαντο, ἦν πλεονεξία, ὃ δὲ σὺ ὦ Ἀλέξανδρε, ἐποίησας, ἐστὶν ἀσέβεια. — 7. Πλέον θάτερον.) Ὃ ἐκείνοις δηλ. μεμφόμεθα, λήσομεν ἡμᾶς αὐτοὺς τοῦτο ποιοῦντες πλέον.

ΕΡΓΑΣΤΗΡΙΟ ΔΙΑΧΕΙΡΙΣΗΣ ... ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΙΩΑΝΝΙΝΑ 2006